ἑαυτῇ περιέχει· ἡ δὲ | τῆς χωριστῆς οὐσίας ὑπόστασις, ἄϋλος καὶ ἁπλῆ. f. 81 Οὐκ ἄρα δυνατόν, διὰ τὸ τὴν οὐσίαν τοῦ αἰσθητοῦ πράγματος ἐκ τῶν φαντασμάτων νοεῖσθαι, ὑπόστασιν νοεῖσθαι τῆς χωριστῆς οὐσίας.

## XLII-XLIV.

Ὅτι οὐ δυνατὸν ἐν τῷ βίῳ τὰς χωριστὰς οὐσίας νοεῖν, ὡς Ἀλέξανδρος ὑποτίθεται.

Ὅτι οὐ δυνατὸν τὰς χωριστὰς οὐσίας νοεῖν, ὡς Ἀβερόης ὑποτίθησιν.

Ὅτι ἡ ἐσχάτη τοῦ ἀνθρώπου εὐδαιμονία οὐκ ἐν τῇ τῶν χωριστῶν οὐσιῶν ὑφίσταται γνώσει.

Εἰ γὰρ ἀδύνατόν ἐστιν ἐνταῦθα τὰς χωριστὰς οὐσίας νοεῖν τὸν ἄνθρωπον, ἀδύνατον ἐν τῷ ἀδυνάτῳ τὴν ἀληθινὴν εὐδαιμονίαν τοῦ ἀνθρώπου συνίστασθαι· ἢ γὰρ ἂν μάτην ὅ τε ἄνθρωπος καὶ ἡ φυσικὴ αὐτοῦ ἔφεσις ἦν.

## XLV. — Ὅτι οὐ μόνον κατὰ τὰ Ἀβερόου καὶ Ἀλεξάνδρου κινητικά, ἀλλὰ καὶ ἁπλῶς ἀδύνατον ἐν τῷ παρόντι βίῳ τὰς χωριστὰς οὐσίας νοεῖν,

τῆς τοιαύτης δυσχερείας, ἐξ ἡμῶν, οὐκ ἐξ ἐκείνων συμβαινούσης· ὁ γὰρ ἡμέτερος νοῦς οὕτως ἔχει πρὸς τὰ φανερώτατα τῶν πραγμάτων, ὡς ὁ Φιλόσοφος φησίν, ὃν τρόπον ἔχει πρὸς τὸ τοῦ ἡλίου φῶς ὁ τῆς νυκτερίδος ὀφθαλμός· ὁ γὰρ δυνάμει νοῦς ἡμῶν, παθητική τις δύναμις οὖσα, ἔχει ἀντικείμενον ἴδιον ἐνεργητικὸν τὸν ἐνεργείᾳ νοῦν. Ὅθεν ἑκάτερον ὑπογράφων Ἀριστοτέλης, φησὶν ἐν τρίτῳ τῶν περὶ ψυχῆς· „Δυνάμει νοῦς ἐστιν, ᾧ πάντα ἐστὶ γίνεσθαι· ἐνεργείᾳ δέ ἐστιν, ᾧ ἐστι πάντα ποιεῖν", ὡς ἐντεῦθεν πρὸς τὰ αὐτὰ τὴν ἑκατέρου δύναμιν ἀναφερομένην ὁρᾶσθαι· τοῦ μὲν τὴν ἐνεργητικήν, τοῦ δὲ τὴν παθητικήν. Ἐπεὶ τοίνυν τὰ ὑλικὰ διὰ τοῦ ἐνεργείᾳ νοῦ γίνονται νοητά, καὶ πρὸς ταῦτα μόνον ἐκτείνει ἑαυτὸν ὁ δυνάμει νοῦς, οὐ δυνάμεθα διὰ τούτου τὰς χωριστὰς οὐσίας νοεῖν, ὡς ὁ τῆς νυκτερίδος ὀφθαλμὸς οὐδέποτε δύναται τὸ τοῦ ἡλίου φῶς ἰδεῖν κατὰ τὸ Ἀριστοτελικὸν παράδειγμα. Ἀλλ' εἰ καὶ ὑφ' ἡμῶν οὐ νοοῦνται, νοοῦνται ὑφ' ἑαυτῶν αἱ χωρισταὶ οὐσίαι· ὅθεν οὐδὲ μάτην εἰσὶ χωρισταί, ὡς ἄν τις ὑπονοήσειεν, ὥσπερ οὐδὲ ὁ ἥλιος μάτην ὁρατὸς διὰ τὸ τῇ νυκτερίδι μὴ θεωρεῖσθαι· ἔστι γὰρ ἄλλοις θεωρητός. Εἴτε τοίνυν οὐκ ἔστι χωριστὸς ὁ δυνάμει νοῦς, ὡς ἔνιοι ὑπέθεντο, οὐ δύναται τὰς χωριστὰς οὐσίας νοεῖν. Πεφυκὼς κατ' οὐσίαν τὰ ἐν ὕλῃ μόνον νοεῖν· εἴτε, ὅπερ ἀληθές ἐστι, καὶ σώματι ἡνωμένος, ὅμως ἄφθαρτός ἐστι καὶ τῆς ὕλης κατὰ τὸ εἶναι οὐκ | ἠρτημένος, ἕπεται τὸ πεφυκέναι τὰ ἐν ὕλῃ νοεῖν συμβαίνειν αὐτῷ ἐκ f. 81v τῆς πρὸς τὸ σῶμα ἑνώσεως. Ὅθεν ὅταν ἡ ψυχὴ τοῦ τοιοῦδε σώματος

Ε.Υ.Δ της τ.τ.Ι ΙΩΑΝΝΙΝΑ 2006

χωρισθῇ, δυνήσεται νοεῖν ὁ δυνάμει νοῦς τὰ καθ᾽ αὑτὰ νοητὰ ἤτοι τὰς χωριστὰς οὐσίας τῷ φωτὶ τοῦ ἐνεργείᾳ νοῦ, ὅπερ ἐστὶν ὁμοιότης ἐν τῇ ψυχῇ τοῦ ἐν ταῖς χωρισταῖς οὐσίαις νοητοῦ φωτός.

Καὶ αὕτη ἐστὶν ἡ τῆς πίστεως ἀπόφασις περὶ τοῦ τὰς χωριστὰς οὐσίας ὑφ᾽ ἡμῶν μετὰ θάνατον νοεῖσθαι, ἀλλ᾽ οὐκ ἐν τῇ παρούσῃ ζωῇ.

## XLVI. — Ὅτι οὐ δι᾽ ἑαυτῆς νοεῖ ἑαυτὴν ἡ ψυχὴ ἐν τῇ παρούσῃ ζωῇ.

Ἡ γὰρ γνωστικὴ δύναμις γίνεται ἐνεργείᾳ διὰ τοῦ εἶναι ἐν αὐτῇ τοῦτο ᾧ τι γινώσκεται· καὶ εἰ μὲν δυνάμει ἐστί, δυνάμει γινώσκει· εἰ δὲ ἐνεργείᾳ, ἐνεργείᾳ γινώσκει. Αὐτὴ δὲ ἡ ψυχὴ ἐνεργείᾳ πάρεστιν ἀεὶ ἑαυτῇ, καὶ οὐδέποτε, δυνάμει ἢ ἕξει μόνον. Γινώσκει ἄρα περὶ ἑαυτῆς ἀεὶ τί ἐστιν, εἰ δι᾽ ἑαυτῆς γινώσκει τί ἐστιν αὐτή· ὃ ψεῦδός ἐστιν.

Ἔτι, πᾶς ἄνθρωπος γινώσκοι ἂν τὴν ψυχὴν τί ἐστι· πᾶς γὰρ ἔχει ψυχήν· ἀλλὰ ψεῦδος.

Ἔτι, εἰ γινώσκομεν ἐξ αὐτῆς τῆς ψυχῆς τί ἐστιν ἡ ψυχή, φύσει ἔσται γνωστὸν ἡμῖν· ἐν δὲ τοῖς φύσει γινωσκομένοις ἀδύνατον πλανᾶσθαι, ὡς ἐν ταῖς πρώταις ἀρχαῖς. Ἀλλὰ περὶ τὸ τί ἐστιν ἡ ψυχὴ πολλοὶ ἠπάτηνται, οἳ μὲν σῶμα τόδε ἢ τόδε εἶναι δοξάσαντες, οἳ δὲ ἀριθμόν, οἳ δὲ ἁρμονίαν. Οὐκ ἄρα δι᾽ ἑαυτῆς ἡ ψυχὴ γινώσκει τί ἐστιν.

Ἔτι, εἰ δι᾽ ἑαυτῆς ἡ ψυχὴ ἑαυτὴν τί ἐστιν ἐπίσταται, τοῦτ᾽ ἔσται δι᾽ ἑαυτὸ γνωστόν, καὶ πρῶτον γνωστόν, καὶ ἀρχὴ τοῦ τ᾽ ἄλλα γινώσκεσθαι· τὸ γὰρ δι᾽ ἑαυτὸ πρότερον τοῦ δι᾽ ἄλλο. Ἀλλ᾽ ἀδύνατον· τὸ γὰρ τί ἐστιν ἡ ψυχὴ οὐχ ὑπόκειται ἐν τῇ ἐπιστήμῃ ὡς γνωστόν, ὡς αἱ καθ᾽ αὑτὰς γνώριμοι προτάσεις, ἀλλὰ προβάλλεται ἐξ ἄλλων ζητηθησόμενον· ὃ δέ φησιν Ἀριστοτέλης, ὅτι ὁ δυνάμει νοῦς νοεῖ ἑαυτὸν ὥσπερ καὶ τὰ ἄλλα, οὐ προσίσταται τῷ λόγῳ· νοεῖ γάρ, φησίν, ἑαυτὸν ὁ νοῦς διὰ τοῦ νοητοῦ εἴδους, ᾧ γίνεται ἐνεργείᾳ ἐν τῷ γένει τῶν νοητῶν· καθ᾽ ἑαυτὸν γὰρ θεωρούμενος, ἐν δυνάμει μόνον ἐστὶ πρὸς τὸ νοητὸν εἶναι· οὐδὲν δὲ καθόσον ἐστὶ δυνάμει γινώσκεται, ἀλλ᾽ ᾗ ἐστιν ἐνεργείᾳ. Ὅθεν αἱ χωρισταὶ οὐσίαι, ὧν αἱ οὐσίαι ὥς τι ἐνεργείᾳ ὑφεστώς εἰσιν ἐν τῷ γένει τῶν νοητῶν, νοοῦσι τί εἰσι περὶ ἑαυτῶν διὰ τῶν ἑαυτῶν οὐσιῶν· ὁ δὲ δυνάμει νοῦς ἡμῶν, διὰ τοῦ νοητοῦ εἴδους, ᾧ γίνεται ἐνεργείᾳ νοῶν.

f. 82 Οὕτω τοίνυν, | κατὰ τὸν Ἀριστοτέλους σκοπὸν καὶ κατὰ Αὐγουστῖνον αὐτὸν ἐν δεκάτῳ Περὶ Τριάδος, ἑαυτὴν ἡ ἡμετέρα δι᾽ ἑαυτῆς γινώσκει ψυχή, καθόσον περὶ ἑαυτῆς γινώσκει ὅτι ἔστιν· ἐκ γὰρ τοῦ καταλαμβάνειν ἑαυτὴν ποιοῦσαν, γινώσκει ἑαυτὴν ὅτι ἔστι· ποιεῖ δὲ δι᾽ ἑαυτῆς· ὅθεν καὶ δι᾽ ἑαυτῆς γινώσκει ὅτι ἔστιν αὐτή. Οὕτω δὲ καὶ περὶ τῶν χωριστῶν

---

28 ᾧ corrigé de ὃ A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

οὐσιῶν τῷ ἑαυτὴν γινώσκειν οἶδεν ὅτι εἰσίν, οὐ μέντοι τί εἰσιν, ὅπερ ἐστὶ κυρίως τὸ τὰς χωριστὰς οὐσίας νοεῖν. Ὅθεν τῇ περὶ τοῦ νοῦ τῆς ψυχῆς ἐπιστήμῃ χρῆσθαι προσήκει ὡς ἀρχῇ πρὸς ἃ γινώσκομεν πάντα περὶ τῶν χωριστῶν οὐσιῶν. Οὐκ ἀνάγκη δέ, εἰ διὰ τῶν θεωρητικῶν ἐπιστημῶν πρὸς τὸ γινώσκειν περὶ ψυχῆς καὶ τί ἐστιν ἀφικνεῖσθαι δυνάμεθα, διὰ τῶν αὐτῶν ἐπιστημῶν καὶ πρὸς τὸ εἰδέναι τί εἰσιν αἱ χωρισταὶ οὐσίαι ἀφικνεῖσθαι· τὸ γὰρ νοεῖν ἡμῶν, δι' οὗ πρὸς τὸ τί ἐστιν ἡ ψυχὴ γινώσκειν ἀφικνούμεθα, λίαν ἀπῴκισται τῆς νοήσεως τῶν χωριστῶν οὐσιῶν. Ἀληθῶς μέντοι διὰ τοῦ γινώσκειν περὶ ψυχῆς τί ἐστιν, δυνατόν ἐστιν ἀφικνεῖσθαι πρὸς τὸ γινώσκειν εἶναί τι γένος ἐξῃρημένον τῶν χωριστῶν οὐσιῶν, ὅπερ οὐκ ἔστι τὰς αὐτῶν οὐσίας γινώσκειν καὶ νοεῖν· ὡς δὲ περὶ ψυχῆς, δι' αὐτῆς γινώσκομεν ὅτι ἔστι, καταλαμβάνοντες τὰς ἐνεργείας αὐτῆς· τί δέ ἐστι, καὶ τὸ ἀντικείμενον τῶν ἐνεργειῶν αὐτῆς, ζητοῦμεν διὰ τῶν ἀρχῶν τῶν θεωρητικῶν ἐπιστημῶν, οὕτω καὶ περὶ τῶν ὄντων ἐν αὐτῇ, ἤτοι τῶν δυνάμεων καὶ τῶν ἕξεων, ἴσμεν ὅτι εἰσὶν ἐκ τῶν ἐνεργειῶν αὐτῶν· τί δέ εἰσιν, εὑρίσκομεν ἐκ τῆς ποιότητος τῶν ἐνεργειῶν.

## XLVII. — Ὅτι οὐ δυνατὸν ἐν τῇ παρούσῃ ζωῇ κατ' οὐσίαν ὁρᾶν τὸν Θεόν.

Εἰ γὰρ τὰς ἄλλας χωριστὰς οὐσίας ἐνταῦθα οὐ δυνάμεθα νοεῖν διὰ τὸ συμπεφυκέναι τὸν νοῦν ἡμῶν τοῖς φαντάσμασι, πολλῷ ἔλαττον δυνησόμεθα τὴν πάσας ἐκείνας παρερχομένην θείαν οὐσίαν νοεῖν· τεκμήριον δέ· ὅσῳ γὰρ μᾶλλον ἡ ἡμετέρα διάνοια πρὸς τὴν τῶν πνευματικῶν ἀνατείνεται θεωρίαν, τοσούτῳ τῶν αἰσθητῶν μᾶλλον ἐφέλκεται· ἔσχατος δὲ ὅρος οἷ τὴν θεωρίαν δυνατὸν ἀφικνεῖσθαι, ἡ θεία ἐστὶν οὐσία. Ὅθεν ἀνάγκη τὸν τὴν θείαν οὐσίαν ὁρῶντα πάντῃ τῶν αἰσθήσεων ἀπολελύσθαι τῶν σωματικῶν ἢ θανάτῳ, ἢ ἁρπαγῇ τινι.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ Ἐξόδῳ· „Οὐ γὰρ ὄψεταί με ἄνθρωπος, καὶ ζήσεται". Τὸ δὲ ἐν τῇ | θείᾳ Γραφῇ τινας ἰδεῖν λέγεσθαι τὸν Θεόν, f. 82v ἀνάγκη νοεῖσθαι διά τινος φαντασιώδους ὄψεως ἢ σωματικῆς τοῦτο γενέσθαι, καθόσον διά τινων σωματικῶν εἰδῶν ἢ ἔξωθεν φαινομένων, ἢ ἔνδοθεν εἰδοποιουμένων, τῇ φαντασίᾳ ἡ παρουσία τῆς θείας δυνάμεως ἀπεδείκνυτο· ἢ καθὸ πευματικοί τινες ἄνδρες γνῶσίν τινα κατέλαβον περὶ τοῦ Θεοῦ νοητήν. Ἐπεὶ δὲ ἀπὸ μιᾶς τῆς πρώτης ἀληθείας αἱ πολλαὶ ἀνακύπτουσιν ἀλήθειαι ἐν ταῖς τῶν ἀνθρώπων διανοίαις, ὧν ἐν τῇ τάξει πρῶτα καὶ μάλιστα ἀληθῆ εἰσιν, ἐν οἷς ἄνθρωποι πάντες συμφωνοῦσιν, ὥσπερ αἱ πρῶται ἀρχαὶ τοῦ θεωρητικοῦ νοῦ καὶ πρακτικοῦ, κατὰ ταῦτα δὴ φύσει ἐν ταῖς τῶν ἀνθρώπων διανοίαις ἁπάντων, ὥσπερ τις εἰκὼν ἀνακύπτει

---

16 *εἰσὶν* corrigé de *ἐστιν* A  28 Exod. 33, 20

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῆς θείας ἀληθείας, καὶ διὰ τοῦτο φησὶν Αὐγουστῖνος τὰ τῶν ἐπιστημῶν θεωρήματα ἐν τῇ θείᾳ ἀληθείᾳ ὁρᾶσθαι, καθόσον ἡ διάνοια ὅπερ ἂν βεβαίως γινώσκοι, ἐν ταῖς ἀρχαῖς ταύταις θεωρεῖ, καθ' ἃς κρίνει περὶ ἁπάντων, ἀναλύσεως ἐπ' αὐτὰς γενομένης, αἵτινες δὴ ἀρχαὶ ὥσπερ ἀΐδιοί τινές εἰσι λόγοι καὶ τῆς θείας ἀληθείας εἰκόνες τινές.

Τοῦτο δέ ἐστι τὸ ὑπὸ τοῦ Ἀποστόλου λεγόμενον ἐν τῇ πρώτῃ πρὸς Κορινθίους· „Ὁρῶμεν νῦν δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι", οὐ κατ' οὐσίαν δηλονότι. Εἰ δὲ καὶ τὸ ἔσοπτρον τοῦτο, ὅπερ ἐστὶν ἡ ἀνθρωπίνη διάνοια, ἐκ τοῦ ἐγγυτέρω παρίστησι τὴν θείαν ὁμοιότητα, ἢ τὰ ἄλλα ταπεινότερα κτίσματα, ὅμως ἡ περὶ Θεοῦ γνῶσις ἡ ἐκ τῆς ἀνθρωπίνης διανοίας λαμβανομένη οὐχ ὑπερβαίνει τὸ γένος τῆς γνώσεως τὸ ἐκ τῶν αἰσθητῶν λαμβανόμενον, ἐπεὶ καὶ ἑαυτὴν ἡ ψυχὴ τί ἐστι γινώσκει διὰ τοῦ τὰς αἰσθητὰς φύσεις νοεῖν, ὡς εἴρηται. Ὅθεν οὐδὲ διὰ τῆς ὁδοῦ ταύτης ὑψηλότερον τρόπον ὁ Θεὸς γινώσκεσθαι δύναται ἢ καθὼς ἡ αἰτία γινώσκεται διὰ τοῦ ἀποτελέσματος.

## XLVIII. — Ὅτι ἡ ἐσχάτη τοῦ ἀνθρώπου εὐδαιμονία οὐκ ἔστιν ἐν τῇδε τῇ ζωῇ.

Ἐπεὶ γὰρ οὔτε ἐν τῇ κοινῇ περὶ Θεοῦ γνώσει καὶ κατά τινα συγκεχυμένην ὑπόληψιν, οὔτε ἐν τῇ ἀποδεικτικῇ μεθόδῳ διὰ τῶν θεωρητικῶν ἐπιστημῶν, ᾗ γινώσκεται ὑψηλότερον, οὔτε ἐν τῇ ὑπὲρ ταύτας διὰ πίστεως γνώσει τοῦ Θεοῦ ἡ ἐσχάτη τοῦ ἀνθρώπου ἐστὶν εὐδαιμονία, οὐκ ἔστι δὲ δυνατὸν ἐν τῇ παρούσῃ ζωῇ πρὸς ὑψηλοτέραν τινὰ περὶ Θεοῦ γνῶσιν f. 83 ἀνελθεῖν, ὥστε κατ' οὐσίαν γινώσκειν | αὐτόν, ἢ τοὐλάχιστον τῶν ἄλλων χωριστῶν νοουμένων, ἐξ αὐτῶν ὥσπερ ἐκ τοῦ ἐγγυτέρω καὶ αὐτὸν γινώσκειν, ἀνάγκη δὲ ἔν τινι περὶ Θεοῦ γνώσει τὴν ἐσχάτην εὐδαιμονίαν ὑποκεῖσθαι, ὡς ἀποδέδεικται, ἀδύνατον ἐν τῇ παρούσῃ ζωῇ τὴν ἐσχάτην εἶναι εὐδαιμονίαν.

Ἔτι, ἡ εὐδαιμονία ἀγαθόν τι, καὶ ὡς τέλειον, παντὶ κακῷ ἀνεπίμικτον· ἀλλ' οὐκ ἔστιν ἐν τῷ παρόντι βίῳ τὸν ἄνθρωπον πάντῃ τῶν κακῶν ἀνεπίδεκτον εἶναι, οὐ λιμοῦ καὶ δίψης, καὶ ψύχους καὶ καύματος, καὶ τῶν σωματικῶν, ἀλλὰ καὶ τῶν τῆς ψυχῆς· οὐδεὶς γὰρ εὑρίσκεται μὴ πολλάκις ἀτάκτοις πάθεσιν ἐνοχλούμενος, μὴ πολλάκις τῆς μεσότητος ἐξιστάμενος, ἐν ᾗ συνίσταται τὸ τῆς ἀρετῆς, ἢ κατὰ τὸ πλέον, ἢ τὸ ἔλαττον, ἢ μὴ ἔν τισιν ἀπατώμενος, ἢ ἀγνοῶν ἅπερ εἰδέναι ᾤετο καὶ ὠρέγετο, ἢ ἀσθενεῖ δόξῃ περιλαμβάνων περὶ ὧν βεβαίως εἰδέναι ἐβούλετο ἢ ἐπίστευεν. Οὐκ ἄρα ἔστι τις ἐν τῷ βίῳ τούτῳ εὐδαιμονία.

Ἔτι, ἡ ἐσχάτη εὐδαιμονία οὐκ ἐν ἕξει, ἀλλ' ἐν συνεχεῖ ἐνεργείᾳ· αἱ

7 I Cor. 13, 12

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γὰρ ἕξεις τῶν ἐνεργειῶν ἕνεκα· ἀλλ' ἀδύνατον ἐνταῦθα συνεχῶς ἐνεργεῖν τὴν τυχοῦσαν ἐνέργειαν.

Ἔτι, εἰ ἐνταῦθα ἦν ἡ ἀνθρωπίνη εὐδαιμονία, τὸ δέος τῆς ἀποβολῆς ταύτης ἀεὶ συνὸν τῷ ἀνθρωπίνῳ· ἀποβάλλομεν γὰρ αὐτὴν διὰ θανάτου τοὐλάχιστον, καὶ ζῶντες διὰ νόσων, αἷς ἡ τοῦ λόγου χρῆσις κωλύεται, καὶ ἴσμεν ὅτι οὐ διαμενεῖ ἡμῖν ἡ τοιαύτη εὐδαιμονία· τοῦτο τοίνυν τὸ δέος συνὸν συνέχεεν ἂν ἡμῖν τὴν εὐδαιμονίαν τῇ λύπῃ, καὶ οὐκ ἂν ἦν τελεία.

Ἔτι, πολλῶν στενοχωριῶν γενομένων τοῖς σοφοῖς, Ἀριστοτέλει καὶ Ἀβερόῃ καὶ Ἀλεξάνδρῳ καὶ ἄλλοις περὶ τῆς ἀνθρωπίνης εὐδαιμονίας, μία ἐκείνων ἀπαλλαγή, εἰ ὑποθοίμεθα κατὰ τὰ προειρημένα μετὰ τὴν παροῦσαν ζωὴν ἀφικνεῖσθαι δύνασθαι τοὺς ἀνθρώπους πρὸς τὴν ἀποκειμένην εὐδαιμονίαν, ἀθανάτου τῆς ψυχῆς ὑπαρχούσης, ἐν ᾗ καταστάσει, ἡ ψυχὴ κατὰ τὸν τρόπον ἐκεῖνον νοήσει, ὃν καὶ αἱ χωρισταὶ οὐσίαι νοοῦσιν. Ἔσται τοίνυν ἡ ἐσχάτη τοῦ ἀνθρώπου εὐδαιμονία ἐν τῇ τοῦ Θεοῦ γνώσει μετὰ τὴν παροῦσαν ζωήν, ὃν τρόπον καὶ αἱ χωρισταὶ αὐτὸν οὐσίαι γινώσκουσιν. Διὰ τοῦτο καὶ ὁ Κύριος μισθὸν ἐπαγγέλλεται τοῖς καθαροῖς τὴν καρδίαν τὴν γνῶσιν ταύτην, καὶ ἐν τῷ εἰκοστῷ δευτέρῳ τοῦ αὐτοῦ φησι Ματθαίου, ὅτι οἱ ἅγιοι ἔσονται ὡς οἱ ἄγγελοι, οἵτινες ὁρῶσιν ἀεὶ τὸν Θεὸν ἐν | τοῖς οὐρανοῖς, ὡς ἐν τῷ αὐτῷ λέγεται. f. 83v

## XLIX. — Ὅτι αἱ χωρισταὶ οὐσίαι οὐχ ὁρῶσι τὸν Θεὸν κατ' οὐσίαν τῷ ἐκ τῶν ἰδίων οὐσιῶν γινώσκειν αὐτόν.

Πολλαχῶς γὰρ ἐκ τῶν ἀποτελεσμάτων τὰς αἰτίας γινώσκειν συμβαίνει, ἕνα μὲν τρόπον, καθ' ὃν τὸ αἰτιατὸν πρὸς τὸ γινώσκειν περὶ τῆς αἰτίας τίς ἐστι, καὶ ὅτι τοιαύτη ἐστίν, ὡς μέσον παραλαμβάνεται, ὥσπερ ἐν ταῖς ἐπιστήμαις συμβαίνει, αἳ διὰ τοῦ αἰτιατοῦ τὴν αἰτίαν δεικνύουσιν· ἕτερον δὲ τρόπον, καθόσον ἐν αὐτῷ τῷ ἀποτελέσματι ὁμοιότης τις ἀνακύπτει πρὸς τὴν αἰτίαν, ὥσπερ ὁ ἄνθρωπος διὰ τῆς ἰδίας ὁμοιότητος ἐν τῷ κατόπτρῳ ὁρᾶται· τρίτον δὲ τρόπον, καθ' ὃν αὐτὴ ἡ τῆς αἰτίας ἐν τῷ αἰτιατῷ ὁμοιότης εἶδός ἐστι δι' οὗ γινώσκει αὐτήν, τὸ ἴδιον αὐτῆς αἰτιατόν, ὥσπερ εἰ τὸ κιβώτιον εἶχε νοῦν, καὶ διὰ τοῦ ἑαυτοῦ εἴδους ἐγίνωσκε τὴν τέχνην ἀφ' ἧς τὸ τοιοῦτον εἶδος ὥσπερ αὐτῆς ὁμοιότης προελέλυθε. Κατ' οὐδένα δὲ τρόπον δυνατὸν διὰ τοῦ ἀποτελέσματος τί ἐστι περὶ τῆς αἰτίας γινώσκειν, εἰ μὴ τὸ ἀποτέλεσμα τῇ αἰτίᾳ εἴη ἐξισωμένον, κἂν τούτῳ ὅλη τῆς αἰτίας ἡ δύναμις δεικνύοιτο. Αἱ δὲ χωρισταὶ οὐσίαι διὰ τῆς ἰδίας οὐσίας γινώσκουσι τὸν Θεὸν ὡς ἐκ τοῦ ἀποτελέσματος ἡ αἰτία γινώσκεται, ἀλλ' οὐ κατὰ τὸν πρῶτον τρόπον· οὕτω γὰρ μεταβατικὴ ἂν ἦν ἡ γνῶσις αὐτῶν, ὡς ἐκ τοῦ γινώσκειν τὴν αἰτίαν ἐπὶ τὸ γινώσκειν τὸ ἐξ αὐτῆς μεταβαίνουσα. Ἀλλὰ κατὰ τὸν δεύτερον, καθόσον μία τούτων

Ε.Υ.Δ της Κ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

ὁρᾷ τὸν Θεὸν ἐν τῇ ἄλλῃ, καὶ κατὰ τὸν τρίτον, καθόσον ἑκάστη τούτων ὁρᾷ τὸν Θεὸν ἐν ἑαυτῇ· οὐδεμιᾶς δὲ τούτων τοιοῦτόν ἐστιν ἀποτέλεσμα ὡς ἐξισοῦσθαι τῇ θείᾳ δυνάμει. Οὐκ ἄρα δυνατὸν τῷ τοιούτῳ τῆς γνώσεως τρόπῳ κατ' οὐσίαν ὁρᾶν τὸν Θεόν.

Ἔτι, ἀδύνατον διά τινος κτιστοῦ τὴν θείαν οὐσίαν ὁρᾶν· πᾶν γὰρ κτιστὸν γένει τινὶ ἢ εἴδει ὁρίζεται· ἡ δέ, ἄπειρος.

Ἔτι, ἀδύνατον τὴν τῆς χωριστῆς οὐσίας ὑπόστασιν μέσον ἱκανὸν εἶναι, δι' οὗ ὁρῷτο ἂν ὁ Θεὸς κατ' οὐσίαν· τὸ γὰρ εἶναι αὐτῆς οὐκ ἔστιν αὐτό· τὸ δὲ εἶναι τὸ θεῖον αὐτὴ ἐδείχθη εἶναι ἡ θεία οὐσία. Γινώσκει μέντοι διὰ τῆς ἑαυτῆς γνώσεως, ἢ ὑπάρξεως, ὅτι ἔστιν ὁ Θεός, καὶ ὅτι πάντων αἴτιος καὶ αἰτία ὑπερέχουσα καὶ διῃρημένη οὐ τῶν ὄντων μόνον, ἀλλὰ
f. 84 καὶ πάσῃ κτιστῇ διανοίᾳ περιληπτοῦ παντός, ἧς δὴ περὶ Θεοῦ | ἀμηγέπη καὶ ἡμεῖς ἅψασθαι δυνάμεθα· καὶ τοῦτ' ἔστιν ἔσχατον καὶ τελειότατον τῆς ἡμετέρας γνώσεως, ὅταν ὡς ἀγνώστῳ τῷ Θεῷ συναφθῶμεν, τουτέστιν ὅταν περὶ Θεοῦ τί οὐκ ἔστιν εἰδότες, τὸ τί ἐστιν οὐκ εἰδῶμεν. Καὶ αὕτη ἡ ἐξοχωτάτη περὶ Θεοῦ γνῶσις, ἄγνοια μᾶλλον οὖσα, ἄδυτος λέγεται γνόφος, ἐν ᾧ ἦν ὁ Θεός, καὶ εἰσέδυ ὁ Μωϋσῆς ἐν αὐτῷ. Ἔστι μέντοι καθαρωτέρα ἡ τοιαύτη γνῶσις ἐν ταῖς χωρισταῖς οὐσίαις ἢ ἐν ἡμῖν· δι' ἑαυτῶν γὰρ γινώσκουσαι οὕτω τὸν Θεόν, δι' ἐγγυτέρων ἀποτελεσμάτων καὶ ὁμοιοτέρων τῷ Θεῷ γινώσκουσιν ἢ δι' ὧν ἡμεῖς γινώσκομεν, ἀλλὰ καὶ διὰ πλειόνων ἀποφάσεων· ὅσῳ γὰρ πλείω γινώσκουσι ἡμῶν καὶ μᾶλλον ἐγγίζοντα τῷ Θεῷ, καὶ ἀφαιρεῖν δύνανται πλείω τε καὶ μᾶλλον ἐγγίζοντα ἢ ἡμεῖς· καὶ οὕτω μᾶλλον ἐγγίζουσι τῇ ἰδίᾳ περὶ Θεοῦ γνώσει, εἰ καὶ μηδ' ἐκεῖναι διὰ τοῦ νοεῖν ἑαυτὰς τὴν θείαν ὁρῶσιν οὐσίαν.

## L. — Ὅτι διὰ τὴν φυσικὴν ἐν αὐταῖς περὶ Θεοῦ γνῶσιν οὐχ ἵσταται ἡ φυσικὴ αὐτῶν ἔφεσις.

Διεγείρεται μὲν οὖν ἐκ ταύτης πρὸς τὴν τελειότητα τῆς γνώσεως, ἥ ἐστιν ἐν τῷ τὴν θείαν θεωρεῖν οὐσίαν· τοῦ γὰρ εἰδέναι ὅτι ἔστι τι, τέλος τὸ εἰδέναι τί ἐστιν ἐκεῖνο. Τούτου χάριν οἰκείως ἡ σοφία φησὶν ἐν τῷ Ἐκκλησιαστῇ· „Ἐγὼ ἐν τοῖς ὑψίστοις οἰκῶ, καὶ ὁ θρόνος μου ἐν τῷ στύλῳ τῶν νεφελῶν“· καὶ ἐν ταῖς Παροιμίαις· „Ἡ σοφία τὰς ἑαυτῆς θεραπαίνας ἐπὶ τὴν ἄκραν ἀεὶ καλεῖ“. Αἰσχυνέσθωσαν τοίνυν οἱ τὴν ἀνθρωπίνην εὐδαιμονίαν οὕτως ἐν τῷ ἄκρῳ κειμένην ἐν τοῖς εὐτελέσι τῶν πραγμάτων ζητήσαντες.

---

13 après ἔσχατον mot gratté dans A  17 cf. Exod. 20, 21  31 Eccli. 24, 7  23 Prov. 9, 13

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## LI. — Ὅτι ὁ Θεὸς κατ' οὐσίαν ὁρᾶται.

Ἐπεὶ δὲ ἀδύνατον μάτην εἶναι τὴν φυσικὴν ἔφεσιν, ὃ πάντη ἂν ἦν, εἰ μὴ πρὸς τὸ τὴν θείαν νοεῖν οὐσίαν δυνατὸν ἦν ἀφικέσθαι, ἧς νοΐ πάντες ἐφίενται, ἀνάγκη λέγειν δυνατὸν εἶναι διὰ νοῦ τὴν θείαν οὐσίαν ὁρᾶσθαι καὶ ταῖς κεχωρισμέναις οὐσίαις καὶ ταῖς ἡμετέραις ψυχαῖς· ὁ δὲ τρόπος τῆς θεωρίας, οἷος εἶναι προσήκει, ἱκανῶς ἐστι δῆλος ἐκ τῶν εἰρημένων. Δέδεικται γὰρ ἀνωτέρω, ὅτι ἡ θεία οὐσία οὐ δύναται θεωρεῖσθαι διὰ νοῦ ἔν τινι κτιστῷ εἴδει· ὅθεν ἀνάγκη, εἰ δέοι αὐτὴν ὁρᾶσθαι, δι' ἑαυτῆς αὐτὴν τὸν νοῦν ὁρᾶν, ὥστ' ἐν ταύτῃ τῇ θεωρίᾳ τοῦ Θεοῦ εἶναι τὴν θείαν οὐσίαν καὶ τὸ ὁρώμενον καὶ ᾧ ὁρᾶται.

Ἐπεὶ δὲ ἀδύνατον οὐσίαν τινὰ τὸν νοῦν θεωρεῖν, μὴ γενόμενον ἐνεργείᾳ κατά τι εἶδος εἰδοποιοῦν αὐτόν, ὅπερ ἐστὶν ὁμοιότης τοῦ νοουμένου, f. 84v θεωρητέον ἂν εἴη, ὅτι ἡ καθ' ἑαυτὴν ὑφεστηκυῖα οὐσία ἢ εἶδος μόνον ἐστίν, ἢ σύνθετος ἐξ ὕλης καὶ εἴδους· ἀλλὰ τὸ σύνθετον οὐ δύναται εἶδος εἶναι ἑτέρου· ἤδη γὰρ ἐκείνῃ τῇ ὕλῃ τὸ εἶδος συμπέφυκεν, ὥσθ' ἑτέρου μὴ δύνασθαι εἶδος εἶναι· τὸ δὲ οὕτως ὑφεστὼς ὥστ' εἶδος εἶναι μόνον, καὶ ἑτέρου δύναται εἶναι εἶδος, ἐφόσον τοιοῦτόν ἐστι τὸ εἶναι αὐτοῦ, ὥσθ' ὑφ' ἑτέρου μετέχεσθαι δύναται, ὡς ἐν τῷ δευτέρῳ δέδεικται περὶ τῆς ἀνθρωπίνης ψυχῆς. Εἰ δὲ τὸ εἶναι αὐτοῦ μὴ δυνατὸν ὑπ' ἄλλου μετέχεσθαι, οὐδενὸς εἶδος δύναται εἶναι· τοῦτο δὲ ὥσπερ ἐν τῷ φυσικῷ ἢ τῷ οὐσιώδει εἶναι εὑρίσκεται, οὕτω κἂν τῷ νοητῷ εἶναι θεωρεῖσθαι προσήκει. Ἐπεὶ γὰρ τὸ ἀληθὲς τελείωσις ὑπάρχει τοῦ νοῦ, ἐκεῖνο τὸ νοητὸν ὡς εἶδος μόνον ἔσται ἐν τῷ γένει τῶν νοητῶν, ὅπερ ἐστὶν αὐτὴ [ἡ] ἀλήθεια, ὃ τῷ Θεῷ μόνῳ προσήκει· ἐπεὶ γὰρ τὸ ἀληθὲς ἕπεται τῷ εἶναι, ἐκεῖνο μόνον ἑαυτοῦ ἔσται ἀλήθεια, ὅπερ ἐστὶ καὶ ἑαυτοῦ εἶναι, ὃ μόνου Θεοῦ ἐστιν ἴδιον· τὰ δὲ ἄλλα ὑφεστῶτα νοητὰ οὐκ εἰσὶν ὡς ψιλὸν εἶδος ἐν τῷ γένει τῶν νοητῶν, ἀλλ' ὡς εἶδος ἐν ὑποκειμένῳ τινὶ ἔχον τὸ εἶναι· ἔστι τοίνυν ἕκαστον αὐτῶν ἀληθές, οὐκ ἀλήθεια, ὥσπερ καὶ ὄν, ἀλλ' οὐκ αὐτὸ τὸ εἶναι. Φανερὸν τοίνυν, ὅτι ἡ θεία οὐσία δύναται πρὸς τὸν κτιστὸν νοῦν παραβάλλεσθαι ὥσπερ εἶδος νοητὸν ᾧ νοεῖ, ὅπερ οὐδαμῶς συμβαίνει οὐσίᾳ ἑτέρας τινὸς χωριστῆς οὐσίας· οὐ μέντοι δύναται εἶναι ἑτέρου τινὸς πράγματος κατὰ τὸ φυσικὸν εἶναι· εἵπετο γὰρ ἂν ἑτέρῳ τινὶ συνημμένην ὁμοῦ φύσιν μίαν ποιεῖν, ὅπερ ἀδύνατον, τῆς θείας οὐσίας τελείας οὔσης ἐν ἑαυτῇ καὶ τῇ αὐτῆς φύσει· τοῦ δὲ νοητοῦ εἴδους ἡνωμένου τῷ νῷ οὐ συνίσταταί τις φύσις· τελειοῖ μόνον τὸ νοητὸν εἶδος πρὸς τὸ νοεῖν, ὃ τῇ τελειότητι τῆς θείας οὐσίας οὐ μάχεται.

Ταύτης τῆς ἀμέσου τοῦ Θεοῦ θεωρίας ἐπαγγελίας ἔχομεν ἐν τῇ πρὸς Κορινθίους πρώτῃ· „Ὁρῶμεν νῦν δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι, τότε δὲ

1 Texte latin: *Quomodo Deus per essentiam videatur*  38 I Cor. 13, 12



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πρόσωπον πρὸς πρόσωπον", ὅπερ ἀνόσιον περὶ σωματικοῦ προσώπου νοεῖν, ἀσωμάτου τοῦ θείου δειχθέντος, ἀλλὰ καὶ τοῦ ἐγκαθημένου τῷ ἡμετέρῳ f. 85 προσώπῳ ὀφθαλμοῦ τῶν σωματικῶν μόνων ἀντιλαμβανομένου· | ἀλλ' ἀμέσως αὐτὸν ὄψεσθαι ἡμᾶς φησὶ τὸ λόγιον, ὥσπερ εἴ τις ἄνθρωπος βλέποι πρόσωπον πρὸς πρόσωπον. Κατὰ ταύτην τοίνυν τὴν θεωρίαν τῷ Θεῷ μάλιστα ὁμοιούμεθα καὶ τῆς αὐτοῦ μακαριότητος γινόμεθα μέτοχοι· καὶ γὰρ αὐτὸς διὰ τῆς ἑαυτοῦ οὐσίας τὴν ἑαυτοῦ οὐσίαν νοεῖ, καὶ αὐτό ἐστιν ἡ μακαριότης αὐτοῦ. Ὅθεν ἐν τῷ γ' τοῦ Ἰωάννου λέγεται· „Ὅταν δὲ φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα, καὶ ὀψόμεθα αὐτὸν ὥσπερ ἐστί"· καὶ ἐν τῷ Λουκᾷ φησὶν ὁ Κύριος· „Κἀγὼ διατίθεμαι ὑμῖν, ὥσπερ διέθετό μοι ὁ Πατήρ μου, βασιλείαν, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου, ἐν τῇ βασιλείᾳ μου", ὃ δὴ περὶ σωματικῆς τροφῆς ἢ πόσεως οὐ δύναται νοεῖσθαι, ἀλλὰ περὶ τοῦ ἐν τῇ τῆς σοφίας τραπέζῃ μετεχομένου, περὶ οὗ λέγεται ὑπὸ τῆς σοφίας ἐν Παροιμίαις. Ἐπὶ τῆς τραπέζης τοίνυν τοῦ Θεοῦ ἐσθίουσι καὶ πίνουσιν οἱ τῆς αὐτῆς ἀπολαύουσιν εὐδαιμονίας, ᾗ καὶ ὁ Θεὸς μακάριός ἐστι, τοῦτον τὸν τρόπον θεωροῦντες ἐκεῖνον, ὃν καὶ αὐτὸς ὁρᾷ ἑαυτόν.

## LII. — Ὅτι οὐδεμιᾷ κτιστῇ οὐσίᾳ τῇ φυσικῇ ἑαυτῆς [ἐνεργείᾳ] δύναται ὁρᾶσθαι κατ' οὐσίαν ὁ Θεός.

Ὃ γὰρ τῆς ὑψηλοτέρας φύσεώς ἐστιν ἴδιον, οὐ δύναται τούτου τυχεῖν ἡ ταπεινοτέρα, μὴ τῆς ὑψηλοτέρας φύσεως εἰς αὐτὴν ἐνεργούσης, ὥσπερ τὸ ὕδωρ οὐ δύναται εἶναι θερμόν, εἰ μὴ διὰ τῆς τοῦ πυρὸς ἐνεργείας· τὸ δὲ τὸν Θεὸν ὁρᾶν διὰ τῆς θείας οὐσίας, τῆς θείας φύσεώς ἐστιν ἴδιον. Οὐδεμία ἄρα νοερὰ οὐσία δύναται τὸν Θεὸν ὁρᾶν δι' αὐτῆς τῆς θείας οὐσίας, μὴ τοῦ Θεοῦ τοῦτο ποιοῦντος.

Ἔτι, ὅπερ φύσεώς τινὸς ὅρους παρέρχεται οὐ δύναται ταύτῃ παραγενέσθαι, εἰ μὴ δι' ἐνεργείας ἑτέρου, ὥσπερ τὸ ὕδωρ οὐ φέρεται ἄνω, μὴ ὑφ' ἑτέρου τινὸς κινούμενον· τὸ δὲ τὴν θείαν οὐσίαν ὁρᾶν πάσης κτιστῆς φύσεως ὅρους παρέρχεται. Κατὰ τὸν τρόπον τῆς ἑαυτῶν οὐσίας νοουσῶν ἁπασῶν τῶν νοερῶν οὐσιῶν, ὃν τρόπον ἡ θεία οὐσία οὐ δύναται νοεῖσθαι. Ἀνάγκη ἄρα διὰ τῆς τοῦ Θεοῦ ἐνεργείας πρὸς τὸ νοεῖν τὴν θείαν οὐσίαν ἀνέλκεσθαι τὸν κτιστὸν νοῦν, ἐπεὶ ὁ Θεὸς πάσης ὑπερεκτείνεται κτίσεως.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ πρὸς Ῥωμαίους· „Ἡ χάρις τοῦ Θεοῦ ζωὴ αἰώνιος", ὅτι πρὸς τὴν θείαν μακαριότητα, ἥτις καὶ ζωὴ αἰώνιος λέγεται, ἐν τῇ θείᾳ θεωρίᾳ συνισταμένη, μόνον τῇ τοῦ Θεοῦ χάριτι φθάνομεν, f. 85v διότι ἡ θεία θεωρία πᾶσαν κτιστὴν εὐπορίαν | ὑπερβαίνει, καὶ πρὸς ταύτην ἀδύνατον ἐλθεῖν, εἰ μὴ διὰ τῆς θείας δωρεᾶς· καὶ διὰ τοῦτο τὸ οὕτως

---

8 I Ioh. 3, 2   10 Luc. 22, 29   34 Rom. 6, 23

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀνάγεσθαι τῇ τοῦ Θεοῦ λογιζόμεθα χάριτι, ὥσπερ καὶ ἐπὶ πάσης ἄλλης ἐκεῖθεν ἀναγωγῆς· τοῦτο γὰρ καὶ ὁ Κύριος ἐν τῷ Ἰωάννῃ φησίν, ὅτι „ἐγὼ ἐμφανίσω αὐτῷ ἐμαυτόν“.

## LIII. — Ὅτι ὁ κτιστὸς νοῦς δεῖται ἐπιρροίας τινὸς θείου φωτός, ὥστε τὸν Θεὸν κατ' οὐσίαν ὁρᾶν.

Δεῖ τοίνυν πρὸς τὴν οὕτω τιμίαν θεωρίαν διά τινος ἐπιρροίας τῆς θείας ἀγαθότητος τὸν κτιστὸν νοῦν μετεωρισθῆναι. Ὥσπερ τὸ σῶμα γίνεται φωτεινὸν ἐνεργείᾳ ὡς εἴδει τῷ φωτί, μετασχόν τινος διαφανείας, οὕτως ἀνάγκη καὶ τὸν κτιστὸν νοῦν, πρὸς τὸ τὴν θείαν οὐσίαν ὁρᾶν δυνηθῆναι, ὑψηλοτέρᾳ τινὶ διαθέσει μετεωρίζεσθαι, ἐκ νέου μεταβολῇ τινι ἑαυτῆς προσλαμβανομένῃ θεόθεν. Ἐπεὶ δὲ ἐκ τῶν αἰσθητῶν ἐπὶ τὴν γνῶσιν τῶν νοερῶν ἀφικνούμεθα, καὶ τῆς αἰθητῆς γνώσεως τὰ ὀνόματα πρὸς τὴν νοητὴν μεταφέρομεν γνῶσιν, καὶ μάλιστα τὰ τῇ ὄψει προσήκοντα, ἥτις τῶν ἄλλων αἰσθήσεων τιμιωτέρα καὶ ἀσωματωτέρα ἐστί, καὶ διὰ τοῦτο τῷ νῷ οἰκειοτέρα, κἀντεῦθέν ἐστι τὸ καὶ αὐτὴν τὴν νοερὰν γνῶσιν ὄψιν καλεῖσθαι· καὶ ἐπεὶ ἡ σωματικὴ ὄψις οὐ τελειοῦται, τοῦ φωτὸς στερουμένη, διὰ τοῦτο καὶ τὰ δι' ὧν ἡ νοερὰ τελειοῦται γνῶσις τὸ τοῦ φωτὸς λαμβάνουσιν ὄνομα· ὅθεν καὶ Ἀριστοτέλης, ἐν τρίτῳ περὶ ψυχῆς, τὸν ἐνεργείᾳ νοῦν φωτὶ παρεικάζει, ὡς ποιοῦντα ἐνεργείᾳ νοητά, ὡς τὸ φῶς ἐνεργείᾳ ὁρατὰ ποιεῖ. Ἡ τοίνυν διάθεσις, δι' ἧς ὁ κτιστὸς νοῦς πρὸς τὴν νοερὰν τῆς θείας οὐσίας θεωρίαν ἀποδημεῖ, ὁμολόγως φῶς δόξης λέγεται, οὐχ ὅτι ποιεῖ ἐνεργείᾳ νοητὸν ὥσπερ τὸ τοῦ ἐνεργείᾳ νοῦ φῶς, ἀλλ' ὡς καθὸ τὸν δυνάμει νοῦν ἐνεργείᾳ ποιεῖ νοεῖν.

Τοῦτο δέ ἐστι φῶς, περὶ οὗ λέγεται ἐν Ψαλμοῖς· „Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς“, δηλαδὴ τὸ τῆς θείας οὐσίας· καὶ ἐν τῇ Ἀποκαλύψει· „Ἡ πόλις, δηλονότι τῶν μακαρίων, οὐ δεῖται ἡλίου ἢ σελήνης· ἡ γὰρ τοῦ Θεοῦ δόξα φωτιεῖ ταύτην“· καὶ ἐν τῷ Ἡσαΐᾳ· „Οὐκ ἔσται σοι ἔτι ἥλιος εἰς τὸ λάμπειν ἐν τῇ ἡμέρᾳ, οὔτε φῶς σελήνης φωτιεῖ σε, ἀλλ' ἔσται σοι Κύριος εἰς φῶς αἰώνιον, καὶ ὁ Θεός σου εἰς δόξαν σου“. Ἐντεῦθέν ἐστι καὶ τὸ τῷ Θεῷ ταὐτὸν εἶναι τὸ εἶναι καὶ τὸ νοεῖν, καὶ εἶναι πᾶσιν αἰτίαν τοῦ νοεῖν, ὃ λέγεται εἶναι φῶς, | ὡς ἐν τῷ κατὰ Ἰωάννην· „Ἦν f. 86
τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον“· καὶ ἐν τῇ πρώτῃ Ἰωάννου· „Ὁ Θεὸς φῶς ἐστι“· καὶ ἐν Ψαλμοῖς· „Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον“. Διὰ τοῦτο καὶ ὁ Θεὸς καὶ οἱ ἄγγελοι ἐν τῇ θείᾳ Γραφῇ ἐν πυρώδεσι σχήμασι διαγράφονται διὰ τὴν λαμπρότητα τοῦ πυρός.

---

3 Ioh. 14, 21  25 Ps. 35, 10  27 Apoc. 21, 23  28 Is. 60, 19  32 Ioh. 1, 9
34 I Ioh. 1, 5  Ps. 103, 2



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## LIV.

Λόγοις δέ τισι κινηθέντες ἀδρανέσι καὶ ἀπατηλοῖς, καὶ οὓς ῥᾷστον ἐλέγχειν, ἐνόμισαν μὴ δύνασθαι τὸν κτιστὸν νοῦν διά τινος φωτὸς ἀναχθῆναι πρὸς τὸ τὴν θείαν οὐσίαν ὁρᾶν, κἀντεῦθεν προήχθησαν ὑποτίθεσθαι τὴν θείαν οὐσίαν μηδέποτε ὑπὸ μηδενὸς ὁρᾶσθαι νοῦ· ἥτις δὴ θέσις καὶ τὴν φυσικὴν τῆς λογικῆς κτίσεως μακαριότητα ἀναιρεῖ, ἣν ἐν μόνῃ τῇ θεωρίᾳ τῆς θείας οὐσίας εἶναι προαπεδείξαμεν, καὶ τοῖς ῥητοῖς ἐναντιοῦται τῆς θείας Γραφῆς, ὡς ἐκ τῶν ἀνωτέρω εἰρημένων ἐστὶ φανερόν· ὅθεν ὡς ψευδῆ καὶ αἱρετικὴν πόρρω βάλλειν προσήκει. Συντομίας εἵνεκα οἱ λόγοι αὐτῶν καὶ αἱ τούτων λύσεις ἐλάθησαν ἐνταῦθα.

## LV. — Ὅτι ὁ κτιστὸς νοῦς οὐ περιλαμβάνει τὴν θείαν οὐσίαν.

Ὁ γὰρ τῆς γνώσεως τρόπος ἕπεται τῷ δραστηρίῳ τῆς τοῦ γινώσκειν ἀρχῆς, ὡς ἐπὶ πάσης ἐνεργείας ἐστὶ τῇ πρὸς τὴν ἰδίαν αἰτίαν ἀναφορᾷ. Τὸ δὲ ῥηθὲν φῶς, δι' οὗ πρὸς τὴν θείαν ἀνάγεται θεωρίαν ὁ κτιστὸς νοῦς, ὥσπερ ἀρχή τίς ἐστι τῆς γνώσεως ἐν ἡμῖν ἐκείνης· διὸ τῇ τούτου δυνάμει μετρεῖται ἐν ἡμῖν ὁ τῆς θείας θεωρίας τρόπος. Τοῦτο δὲ τὸ φῶς δυνάμει καὶ δόξῃ πλεῖστον ἀποδεῖ τοῦ θείου νοῦ. Ἀδύνατον ἄρα δι' αὐτοῦ τὴν θείαν οὐσίαν ὁρᾶσθαι τελείως, καὶ ὡς ὁ θεῖος νοῦς ταύτην ὁρᾷ ὥσπερ τελείως ἐστὶν ὁρατή. Ἡ γὰρ τῆς θείας οὐσίας ἀλήθεια καὶ ἡ λαμπρότης τοῦ θείου νοῦ ἴσα εἰσίν, μᾶλλον δὲ ἕν εἰσιν. Ἀδύνατον ἄρα τὸν κτιστὸν νοῦν ὁρᾶν τὴν θείαν οὐσίαν οὕτω τελείως τῷ τοιῷδε φωτὶ ὡς ἔστιν ὁρατὴ τελείως· τὸ δὲ ὑπό τινος γινώσκοντος περιλαμβανόμενον οὕτω τελείως ὑπ' ἐκείνου γινώσκεται ὥσπερ καὶ ἔστι γνωστόν· ὁ γὰρ εἰδὼς ὅτι τὸ τρίγωνον τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχει ὥσπερ τι δοξαστὸν καὶ δι' ἐνδόξου λογισμοῦ, ὡς οὕτω τῶν σοφῶν δοξαζόντων, οὔπω τοῦτο περιλαμβάνει· ἀλλ' ἐκεῖνος μόνον ὁ τοῦτο εἰδὼς ὥσπερ τι ἐπιστητὸν διὰ μέσου, ὅ ἐστιν αἴτιον. Ἀδύνατον ἄρα ἐστὶ τὸν κτιστὸν νοῦν τὴν θείαν οὐσίαν περιλαμβάνειν.

Ἔτι, πᾶν τὸ ἐνεργοῦν ἐπὶ τοσοῦτον τελείως ἐνεργεῖ καθόσον τελείως
f. 86v τοῦ εἴδους μετέχει, ὅπερ ἐστὶ τῆς ἐνεργείας ἀρχή· | τὸ δὲ νοητὸν εἶδος, δι' οὗ ἡ θεία θεωρεῖται οὐσία, αὐτή ἐστιν ἡ θεία οὐσία, ἥτις, εἰ καὶ εἶδος τοῦ κτιστοῦ γίνεται νοῦ, οὐ μέντοι δέχεται ταύτην κατὰ πᾶσαν αὐτῆς δύναμιν. Οὐκ ἄρα οὕτω τελείως αὐτὴν θεωρεῖ ὥσπερ ἐστὶ τελείως θεωρητή· οὐδ' ἄρα ὑπὸ τοῦ κτιστοῦ περιλαμβάνεται νοῦ.

Ἔτι, ἡ πεπερασμένη δύναμις οὐ δύναται τῇ αὐτῆς ἐνεργείᾳ τῷ ἀπείρῳ ἀντικειμένῳ ἐξισωθῆναι.

Ἔτι, πᾶν περιλαμβανόμενον τῶν λόγων οὐχ ὑπερεκτείνεται τοῦ περιλαμβάνοντος.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἰστέον μέντοι γε, ὅτι τὸ τὴν θείαν οὐσίαν ὑπὸ τοῦ κτιστοῦ νοῦ θεωρεῖσθαι μέν, οὐ περιλαμβάνεσθαι δέ, οὐχ οὕτω λέγεται ἢ νοεῖται ὥσπερ ἐκείνης του μὲν θεωρουμένου, τινὸς δὲ μή· ἁπλῆ γάρ ἐστι πάντῃ· ἀλλ' ὅτι οὐχ οὕτω τελείως τῷ κτιστῷ νῷ θεωρεῖται ὡς καὶ ἔστι θεωρητή, ὃν τρόπον ὁ δοξάζων λέγεται μὲν τὸ ἀποδεικτικὸν γινώσκειν συμπέρασμα, οὐ μέντοι περιλαμβάνειν, ἐπεὶ μὴ τελείως τοῦτο γινώσκει, ἐπιστημονικῶς δηλαδή, εἰ καὶ μηδὲν εἴη τούτου μέρος, ὃ μὴ γινώσκει.

## LVI. — Ὅτι ὁ κτιστὸς νοῦς οὐ καὶ πάντα ὁρᾷ τὰ ἐν τῷ Θεῷ ὁρᾶσθαι δυνάμενα.

Τότε γὰρ μόνον γνωσθείσης τινὸς ἀρχῆς καὶ πάντα τὰ ἐξ αὐτῆς διὰ ταύτης γινώσκεται, ὅταν ὑπὸ τοῦ νοῦ αὕτη περιλαμβάνηται· τότε γὰρ κατὰ πᾶσαν αὐτῆς τὴν δύναμιν γινωσκομένης, ἐξ αὐτῆς καὶ τὰ ἀποτελέσματα πάντα γινώσκονται αὐτῆς. Ἐπεὶ τοίνυν ὁ κτιστὸς νοῦς ἐν τῷ γινώσκειν τὴν θείαν οὐσίαν οὐ περιλαμβάνει αὐτήν, οὐκ ἀνάγκη τῷ ταύτην ὁρᾶν καὶ πάντα ὁρᾶν τὰ δι' αὐτῆς γνωσθῆναι δυνάμενα.

Ἔτι, τί ὁ βουλόμενος βούλεται, οὐ δύναται γινώσκεσθαι διὰ τοῦ ἐγνῶσθαι τὴν οὐσίαν αὐτοῦ· ἡ γὰρ θέλησις ἐπὶ τὰ ἴδια θελητὰ οὐ φέρεται παντάπασι φυσικῶς· διὸ καὶ ἡ βούλησις καὶ ἡ φύσις δύο ποιητικαὶ ἀρχαὶ τίθενται· ἀλλὰ τὸ βούλημα τοῦ βουλομένου γινώσκει ὁ νοῦς ἔκ τινων ἀποτελεσμάτων αὐτοῦ, ὥσπερ ὅταν ὁρῶμέν τινα ἑκουσίως πράττοντα, ἴσμεν τί βούλεται, ἢ διὰ τῆς αἰτίας, ὥσπερ ὁ Θεὸς οἶδε τὰς ἡμετέρας θελήσεις ὡς αἴτιος ἡμῖν τοῦ θέλειν· ἢ καθό τις ἑτέρῳ σημαίνει τὴν ἑαυτοῦ διάθεσίν τε καὶ θέλησιν. Ἐπεὶ τοίνυν πολλὰ τῆς ἁπλῆς τοῦ Θεοῦ βουλήσεως ἤρτηνται, ὁ κτιστὸς νοῦς, εἰ καὶ τὴν θείαν οὐσίαν ὁρᾷ, οὐ μέντοι πάντα | γινώσκει ἃ διὰ τῆς αὐτοῦ οὐσίας ὁρᾷ ὁ Θεός. Εἰ δέ τις ἀπαντῴη (f. 87) λέγων, ὅτι ἡ τοῦ Θεοῦ οὐσία μείζων ἐστὶ πάντων ὧν ὁ Θεὸς ποιεῖν ἢ νοεῖν ἢ βούλεσθαι δύναται πλὴν ἑαυτοῦ· ὅθεν εἰ ὁ κτιστὸς νοῦς τὴν θείαν οὐσίαν ὁρᾶν δύναται, πολλῷ μᾶλλον πάντα ἅπερ ὁ Θεὸς πλὴν ἑαυτοῦ ἢ νοεῖν ἢ θέλειν ἢ ποιεῖν δύναται· ῥητέον ὅτι εἰ ἀκριβῶς θεωροῖτο, οὐ τοῦ αὐτοῦ ἐστι λόγου ἐν ἑαυτῷ τι γινώσκεσθαι, κἂν τῇ ἑαυτοῦ αἰτίᾳ· τινὰ γὰρ ἐν ἑαυτοῖς ῥᾳδίως γινώσκεται, καίτοι ἐν ταῖς αὐτῶν αἰτίαις χαλεπῶς γινωσκόμενα. Ἀληθὲς τοίνυν ἐστὶ μεῖζον εἶναι τὸ τὴν θείαν οὐσίαν γινώσκειν ἢ πᾶν ὅπερ ἂν παρὰ τὴν θείαν οὐσίαν ἐν ἑαυτῷ γινώσκεσθαι δύναται· τελειοτέρας δέ ἐστι γνώσεως τὴν θείαν τε οὐσίαν γινώσκειν καὶ ἐν αὐτῇ τὰ ταύτης ὁρᾶν ἀποτελέσματα ἢ γινώσκειν τὴν θείαν οὐσίαν ἄνευ τοῦ ἐν ταύτῃ ταῦτα θεωρεῖν. Καὶ τὸ μὲν τὴν θείαν οὐσίαν ὁρᾶσθαι ἄνευ τοῦ ταύτην περιλαμβάνειν δύναται γίνεσθαι· τὸ δὲ πάντα γινώσκειν τὰ

1 Devant Ἰστέον, en marge, *σημειῶσαι*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δι' ἑαυτῆς νοεῖσθαι δυνάμενα, τοῦτ' ἄνευ τοῦ ταύτην περιλαμβάνειν οὐ δύναται γίνεσθαι, ὡς καὶ ἐκ τῶν εἰρημένων δῆλόν ἐστιν.

## LVII. — Ὅτι ὁστισοῦν κτιστὸς νοῦς δύναται τῆς θείας θεωρίας μέτοχος εἶναι.

Ἐπεὶ γὰρ ὁ κτιστὸς νοῦς ὑπερφυεῖ τινι φωτὶ πρὸς τὴν τῆς θείας οὐσίας θεωρίαν ἀνάγεται, οὐδεὶς κτιστὸς νοῦς οὕτω κατὰ τὴν ἑαυτοῦ φύσιν ἐστὶ ταπεινὸς ὥστε πρὸς ταύτην τὴν θεωρίαν ἀδυνατεῖν μετεωρισθῆναι· δέδεικται γὰρ τὸ φῶς ἐκεῖνο μὴ δύνασθαι κτίσμα τι φυσικὸν εἶναι, ἀλλὰ πᾶσαν ὑπερβαίνειν κτιστὴν φύσιν τῇ δυνάμει· ὃ δέ ἐστιν ὑπερφυὲς τῇ δυνάμει ὑπὸ τῆς τῆς φύσεως διαφορᾶς οὐ κωλύεται· ἄπειρος γάρ ἐστιν ἡ θεία δύναμις· ὅθεν τῇ διὰ θαύματος τοῦ ἀσθενοῦς θεραπείᾳ οὐδὲν διαφέρει, εἴτε ἐπ' ὀλίγον, εἴτε ἐπὶ πλέον ἐνόσησεν. Αἱ διάφοροι τοίνυν τῆς νοερᾶς φύσεως τάξεις οὐ κωλύουσιν ὥστε τὸ ταύτης τῆς τάξεως ἔσχατον μὴ δύνασθαι τῷ εἰρημένῳ φωτὶ πρὸς τὴν θεωρίαν ἀναχθῆναι ἐκείνην.

Ἔτι, τὴν φυσικὴν ἔφεσιν μάτην εἶναι ἀδύνατον· πᾶς δὲ νοῦς ἐφίεται τοῦ τὴν θείαν οὐσίαν θεωρεῖν· καὶ πᾶς ἄρα δύναται πρὸς τοῦτ' ἀφικέσθαι, τῇ ταπεινότητι τῆς φύσεως ἥκιστα κωλυόμενος.

Διὸ ἐν τῷ κατὰ Ματθαῖον λέγεται περὶ τῶν ἀνθρώπων, ὅτι „ἔσονται
f. 87v ὥσπερ ἄγγελοι ἐν οὐρανῷ“· | καὶ ἐν τῇ Ἀποκαλύψει ἡ αὐτὴ παραδίδοται εἶναι τράπεζα ἀγγέλου καὶ ἀνθρώπου.

## LVIII. — Ὅτι τελειότερον ἄλλος ἄλλου θεωρεῖν δύναται.

Ἐπεὶ δ' ὁ τῆς ἐνεργείας τρόπος ἕπεται τῷ εἴδει ὅ ἐστι τῆς ἐνεργείας ἀρχή, τῆς δὲ θεωρίας τῆς θείας οὐσίας ἀρχή τις τῷ κτιστῷ νῷ τὸ ῥηθὲν φῶς, ἀνάγκη κατὰ τὸν τοῦ φωτὸς τρόπον καὶ τὸν τῆς θείας θεωρίας τρόπον ὑπάρχειν· δυνατὸν δὲ τῆς τοῦ φωτὸς μετοχῆς διαφόρους εἶναι βαθμούς, ὥσθ' ἕτερον ἑτέρου φωτίζεσθαι τελεώτερον. Δυνατὸν ἄρα ἐστὶ τῶν τὸν Θεὸν ὁρώντων ἕτερον ἑτέρου τελειότερον τὴν θείαν οὐσίαν ὁρᾶν.

Ἔτι, ἐν παντὶ γένει, ἐν ᾧ ἐστί τι ἄκρον, τὸ μεῖζον καὶ ἔλαττον εὑρίσκεται τοῖς λοιποῖς κατὰ τὴν μείζω πρὸς αὐτὸ ἐγγύτητα ἢ διάστασιν, ὡς ἔχει τὰ θερμὰ διαφόρως διὰ τὸ διαφόρως ἔχειν πρὸς τὸ ἄκρως θερμόν, τὸ πῦρ δηλονότι. Ὁ δὲ Θεὸς τελειότατα τὴν ἑαυτοῦ οὐσίαν ὁρᾷ ὡς περιλαμβάνων αὐτήν. Τῶν ὁρώντων ἄρα αὐτόν, ὧν οὐδεὶς περιλαμβάνει τὴν οὐσίαν αὐτοῦ, ἧττον καὶ μᾶλλον ἄλλος ἄλλου ὁρᾷ καθὸ μᾶλλον ἢ ἔλαττον πλησιάζει. Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ Ἰωάννῃ εἰρημένον, ὅτι „ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσιν“. Εἰ δὲ καὶ κατὰ τὸν τῆς θεωρίας τρόπον ἡ διαφορὰ τῶν βαθμῶν ἐστιν, ἀλλ' ἐκ τοῦ θεωρουμένου

---

19 Matth. 22, 30 20 cf. Apoc. 10 36 Ioh. 14, 2

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006